# [Declamatio amatoria - suite]

### Auteur : Foucault, Michel

## Présentation de la fiche

Coteb023_f0967
SourceBoite_023-26-chem | Démosthène et [... ?]
LangueFrançais
TypeFicheLecture
RelationNumérisation d’un manuscrit original consultable à la BnF, département des Manuscrits, cote NAF 28730

## Références éditoriales

Éditeuréquipe FFL (projet ANR *Fiches de lecture de Michel Foucault*) ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle).
Droits

- Image : Avec l’autorisation des ayants droit de Michel Foucault. Tous droits réservés pour la réutilisation des images.
- Notice : équipe FFL ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l’Identique 3.0 (CC BY-SA 3.0 FR).

Notice créée par équipe FFL Notice créée le 19/03/2021 Dernière modification le 23/04/2021

967



τούτων οὐδ' εἰς ἐλπίδα οὐδεὶς ἔρχεται. τοσαύτην τοῖς μὲν τῶν βελτίστων ὀρεγομένοις ἐξουσίαν τοῖς δ' ἀποθρασύνεσθαι βουλομένοις ἀτολμίαν ἡ σὴ σωφροσύνη παρεσκεύακεν. (21) Ἔτι τοίνυν τῶν πλείστων ἐκ τῆς σιωπῆς, ὅταν ὦσι νέοι, τὴν τῆς σωφροσύνης δόξαν θηρωμένων σὺ τοσοῦτο τῇ φύσει διενήνοχας, ὥστ' ἐξ ὧν λέγεις καὶ ὁμιλεῖς τοῖς ἐντυγχάνουσι μηδὲν ἐλάττω τὴν περὶ σεαυτοῦ εὐδοξίαν ἢ διὰ πάντα τὰ λοιπὰ πεποιῆσθαι. τοσαύτη πειθὼ καὶ χάρις καὶ ἐν οἷς σπουδάζεις ἐστί σοι καὶ ἐν οἷς παίζεις. καὶ γὰρ εὐήθης ἀναμαρτήτως καὶ δεινὸς οὐ κακοήθως καὶ φιλάνθρωπος ἐλευθερίως, καὶ τὸ σύνολον τοιοῦτος εἶ, οἷος ἂν ἐξ Ἀρετῆς υἱὸς Ἔρωτι γένοιτο.

22. Τὴν τοίνυν ἀνδρείαν (οὐδὲ γὰρ τοῦτ' ἄξιόν ἐστι παραλιπεῖν, οὐχ ὡς οὐ πολλὴν ἐπίδοσιν ἐχούσης ἔτι τῆς σῆς φύσεως, καὶ τοῦ μέλλοντος χρόνου πλείους ἀφορμὰς παραδώσοντος λόγων τοῖς ἐπαινεῖν σε βουλομένοις,
1408 ἀλλ' ὡς καλλίστων ὄντων τῶν μετὰ ταύτης τῆς ἡλικίας ἐπαίνων, ἐν ᾗ τὸ μηδὲν ἐξαμαρτάνειν τοῖς ἄλλοις εὐκτόν ἐστι), σοῦ δ' ἐπὶ πολλῶν μὲν ἄν τις καὶ ἑτέρων τὴν ἀνδρείαν διέλθοι, μάλιστα δ' ἐπὶ τῆς ἀσκήσεως, ἧς καὶ πλεῖστοι γεγένηνται μάρτυρες. (23) Ἀνάγκη δ' ἴσως πρῶτον εἰπεῖν, ταύτην τὴν ἀγωνίαν ὡς καλῶς προείλου. τὸ γὰρ ὀρθῶς, ὅ τι πρακτέον ἐστί, νέον ὄντα δοκιμάσαι καὶ ψυχῆς ἀγαθῆς καὶ γνώμης φρονίμου κοινόν ἐστι σημεῖον. δι' ὧν οὐδέτερον παραλιπεῖν ἄξιον τὸν τῆς προαιρέσεως ἔπαινον. Συνειδὼς τοίνυν τῶν μὲν ἄλλων ἀθλημάτων καὶ δούλους καὶ ξένους μετέχοντας, τοῦ δ' ἀποβαίνειν μόνοις μὲν τοῖς πολίταις ἐξουσίαν οὖσαν ἐφιεμένους δὲ τοὺς βελτίστους, οὕτως ἐπὶ τοῦτον τὸν ἀγῶν' ὥρμησας. (24) Ἔτι δὲ κρίνων τοὺς μὲν τὰ δρομικὰ γυμναζομένους οὐδὲν πρὸς ἀνδρείαν οὐδ' εὐψυχίαν ἐπιδιδόναι, τοὺς δὲ τὴν πυγμὴν καὶ τὰ τοιαῦτ' ἀσκήσαντας πρὸς τῷ σώματι καὶ τὴν γνώμην διαφθείρεσθαι, τὸ σεμνότατον καὶ κάλλιστον τῶν ἀγωνισμάτων καὶ μάλιστα πρὸς τὴν σαυτοῦ φύσιν ἁρμόττον ἐξελέξω, τῇ μὲν συνηθείᾳ τῶν ὅπλων καὶ τῇ τῶν δρόμων φιλοπονίᾳ τοῖς ἐν τῷ πολέμῳ συμβαίνουσιν ὡμοιωμένον, τῇ δὲ μεγαλοπρεπείᾳ καὶ τῇ σεμνότητι τῆς παρασκευῆς πρὸς τὴν τῶν θεῶν δύναμιν εἰκασμένον, πρὸς δὲ τούτοις ἡδίστην μὲν θέαν ἔχον, ἐκ πλείστων δὲ καὶ παντοδαπῶν συγκείμενον, μεγίστων δ' ἄθλων ἠξιωμένον. (25) Πρὸς γὰρ τοῖς τιθεμένοις τὸ γυμνασθῆναι καὶ μελετῆσαι τοιαῦτ' οὐ μικρὸν ἆθλον προφανήσεται
1409 τοῖς καὶ μετρίως ἀρετῆς ἐφιεμένοις. τεκμήριον δὲ μέγιστον ἄν τις ποιήσαιτο τὴν Ὁμήρου ποίησιν, ἐν ᾗ καὶ τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους μετὰ τοιαύτης παρασκευῆς πολεμήσαντας πεποίηκεν ἀλλήλοις, ἔτι δὲ καὶ νῦν τῶν πόλεων τῶν Ἑλληνίδων οὐ ταῖς ταπεινοτάταις ἀλλὰ ταῖς μεγίσταις ἐν τοῖς ἀγῶσι χρῆσθαι σύνηθές ἐστιν. (26) Ἡ μὲν οὖν προαίρεσις οὕτω καλὴ καὶ παρὰ πᾶσιν ἀνθρώποις ἠγαπημένη, νομίζων δ' οὐδὲν εἶναι προὔργου τῶν σπουδαιοτάτων ἐπιθυμεῖν οὐδὲ καλῶς πρὸς ἅπαντ' ἀεὶ πεφυκέναι τὸ σῶμα μὴ τῆς ψυ-

possunt, quæ vero cum probro conjuncta sunt, ea nec sperare quisquam in animum inducit. Tantam honestatis appetentibus potestatem, impudentibus desperationem affert tua prudentia. (21) Præterea, quum in adolescentia plerique prudentiæ laudem taciturnitate venentur; tu tantum ingenio polles, ut sermonibus et colloquiis tuis non minorem quam ceteris omnibus rebus apud familiares tuos laudem sis adsecutus. tantus tuus lepos est et tanta suavitas tum seriis tum jocosis in rebus, quum et simplex sis absque peccato et acutus absque malitia et humanus cum ingenuitate, ac denique talis, qualis e Virtute filius esset Amoris.

22. Fortitudo autem (nam et hanc præterire non decet, quanquam tua quidem natura multas adhuc accessiones recipit et futurum tempus laudaturis magnam copiam suppeditabit, tamen pulcherrimæ sunt ista ætate laudes, qua nihil peccare ceteris est optabile), tua igitur fortitudo quum ex aliis celebrari possit tum vero propter exercitationem, cujus vel plurimi testes exstiterunt. (23) Fortasse autem in primis dicendum est, quam prudenter id studium ceteris prætuleris. nam prudens agendarum rerum delectus in adolescente commune signum est et animi liberalis et cordati ingenii. propter utrumque istius instituti laus non est prætermittenda. Quum igitur persuasum tibi haberes a reliquis certaminibus nec servos nec peregrinos excludi, desilire vero solis propositum esse civibus, nec nisi ab optimis expeti; sic ad hoc certamen te contulisti. (24) Ad hæc, si qui currendo se fatigent, eorum nec fortitudinem nec animi alacritatem augeri, eos vero, qui pugilatu aut aliis ejus generis ludis se exerceant, præter mala corporis etiam ingenia corrumpere quum judicares; splendidissimum pulcherrimumque exercitationis genus tuæque naturæ aptissimum elegisti, quod et armorum consuetudine et cursuum tolerantia belli simulacrum referat, et magnificentia ac splendore apparatus potentiæ deorum simile videatur, præterea et spectatu jucundissimum sit, et e plurimis variisque generibus constet, et ingentia præmia merito consequatur. (25) Præter enim proposita præmia, ipsa etiam exercitatio et tam præclarum studium non parvum præmium homini vel mediocriter virtutis studioso videbitur. Quod Homerici carminis testimonio vel inprimis comprobatur, in quo et Græcos et Barbaros tali apparatu gessisse bellum fecit inter sese, præterea etiam hodie Græcarum urbium non abjectissimis, sed maximis uti eo in certaminibus familiare est. (26) Quanquam autem hoc institutum tam præclarum est et apud omnes homines amatum, tamen quia putabas nihil prodesse rerum pulcherrimarum desiderium, aut corporis ad omnia quamlibet habilitatem, nisi animus probe esset

BnF MSS

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/16900?context=pdf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/16900?context=pdf